Fol. 2. p. 2.

Ἀκούετον τῶν ἁγίων καὶ φιλοσόφων πατέρων, τί φασι περὶ τοῦ
τρόπου τῆς τε πρώτης τῆς τε δευτέρας γεννήσεως τοῦ υἱοῦ;
ἀκούετον καὶ πῶς τιμῶσι τοὺς ἐπιζητοῦντας καὶ ἐξετάζοντας
τῶν μυστηρίων αὐτοῦ τοὺς τρόπους καὶ ἀποδείξεις; οὐ ξυνίετον
τῆς θείας καὶ ἀκηράτου φύσεως τὸ ἀνεμβάτευτον καὶ ἀπρό-
σιτον; οὐκ ἀθρεῖτον τῆς τόλμης ἐπαλύθαιον, περὶ τοῦ ἀκα-
ταλήπτου λέγοντε, ὅπερ ἐκεῖνος οὐκ ἀπεκάλυψεν; οὐδὲ τὴν
γνώμην γοῦν τοῦ Κάτωνος πείθεσθον τοῦ σοφοῦ τε καὶ εὐρωπαί-
ου, ἐκείνη γε παραινοῦντος τοῖς ἑσπερίοις ὑμῖν; Κάτωνος:
λῆπε θεοῦ μυστήρια καὶ πόλον ὅστις ἐρευνᾶν.
θνητὸς ἐὼν γάρ, καὶ περὶ θνητῶν ἔασο μεριμνᾶν.
ἀλλὰ ταῦτα μὲν ἡμῖν ἱκανὰ εἶναι δοκεῖ πρὸς ἔλεγχον καὶ ἀπό-
δειξιν, τοῦ μὴ τολμᾶν τοὺς ἀνοήτους ἐπιχειρεῖν τοῖς ἀνεφι-
κτοις καὶ ὑπὲρ δύναμιν, μὴ ὅτι γε τῶνδε ἡμῶν τῶν ἐπιχθο-
» νίων καὶ χαμερπῶν, ὀλίγος γὰρ νόος μερόπεσσι καὶ ἀλκή
» κατ' Ὀππιανόν, καὶ ἔτι καθ' Ὅμηρον, ποῖος γὰρ νόος ἐστὶν ἐπι-
» χθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε,
ἀλλὰ καὶ τῶν ἐπουρανίων νόων τε καὶ δυνάμεων. ἐπεὶ δὲ ἐ-
χρησάσθην καί τισι λόγοις, οὐκ ἀποδεικτικοῖς οὐδὲ τούτοις,
πῶς γὰρ ἂν ἀποδειχθείη ἀποδείξει τὸ ἀναπόδεικτον, ἀλλ' ἐκ
τῶν σφετέρων ἐγκάτων καὶ χολάδων λογομαχοῦντε, μᾶλ-
λον δ' ἐς ἀλλόκοτα δόγματα τῇ ἐκκλησίᾳ καὶ ἀθέμιτα ἀ-
ποκλίνοντε, τίνε γε ὄντε τίνων πέρι, καὶ πρὸς τάδε ἀ-
ποφαντέον, μετρίοις οὖσι τὰ ἐς λόγους τε καὶ σοφίαν, καὶ
μὴ παρ' ὃ δεῖ ὑψηλοφρονοῦσιν ὡς οἱ πολλοί. Εἰρήκει ὁ
διδάσκων ὡς ἀκήκοα τοῦ πορθμέως, τρισὶν αἰτίοις δεί-
κνυσθαι λέγων, τὸν τρόπον τῆς πρώτης γεννήσεως τοῦ υἱοῦ.
τοῦτο δ' ἐστὶν ἀπερίσκεπτον, ἢ κακῶς περιεσκεμμένον.
ὁ γάρ τοι Ἀριστοτέλης φησὶν ἐν τοῖς φυσικοῖς, ἅπαν γεννητὸν
τέτταρσιν αἰτίοις γίνεσθαι πεφυκέναι. Ποιητικῷ αἰτίῳ

ὅπερ legendum

Rubro erat subductum.

v. ~~Rittershus. ad~~ Oppian. p. 198. ~~sunt libri ... ~~ II.